ἀπρόσφυλόν τινα τάξιν κατασπῶσα, καὶ διι-
χυριζομένη ὁσημέραι καὶ ἐν τοῖς καθ' ἕκαστα
τοῖς γενικοῖς προνοίας λόγοις μάλα εὐτάκτως
χωροῦσι θαυματουργεῖν, ἀλλ' ὁ δημιουργὸς τῶν
ὅλων Θεὸς ὁ τῳόντι ἄριστος, καὶ μέγας βασι-
λεὺς καθ' εἱρμὸν τῶν νόμων, οὓς ἅπαξ καλῶς
ἐπήξατο, ὑπὸ τῶν ὑπαλλήλων, οἷον εἰπεῖν,
ἀρχῶν διοικεῖσθαι συγχωρεῖ τὸ τοῦ παντὸς πο-
λίτευμα. ἐνίοτε δὲ εἰς ἐπίδειξιν τῆς ὑπερκει-
μένης αὐτοῦ παντοδυναμίας, ἐξαισίοις θαύμασι
καταπλήττει τὰς ὅλως ἐπτοημένας ταῖς ὑπο-
τεταγμέναις αἰτίαις ψυχάς.

Ἵνα δὲ οὕτω καλῶν λόγων ἐμφορηθεὶς, μὴ μόνος ἐγὼ ἀσύμβολος εἴην, ὁπόσα πάνυ καιρίως εἴρητο περὶ δεισιδαιμονίας τῷ Ἰταλῷ ἐπιβεβαιωσόμενος ἔφην.

## Περὶ Μωρίας.

Ἡ δεισιδαιμονία παρ' Ὀθωμανοῖς μω-
ρίας προσωπεῖον ὑποδῦσα, τῶν ἁπλουστέρων κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

τορχεῖται, καὶ ὁ σπουδῇ ἅμα καὶ παιδιᾷ τὴν μωρίαν ἐγκωμιάσας εἴγε αὐτῶν ἐνίοις ὡμιληκὼς ἐτύγχανεν, εὐανθεστέροις χρώμασιν ἐζωγράφησεν ἂν αὐτήν. ἐν μὲν γὰρ ἑτέροις μέρεσι τῆς οἰκουμένης γῆς ἡ τοῦ νοὸς ἀσθένεια φρονήσεως ὡς τὰ πολλὰ περικειμένη προσωπεῖον, πορίζεται ὁπωσοῦν τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα, οἱ δ' Ὀθωμανοὶ οὕτω διὰ τιμῆς ἄγουσι τὴν μωρίαν, ὥστε πολλάκις καὶ αὐτὴν τὴν φρόνησιν ἀνοίας καὶ σκαιότητος προσχήματι ἐν τῷ ἀσφαλεῖ καθίστασθαι. ἀμέλει ἔνιοι τῶν παρ' αὐτοῖς προυχόντων ἄνοιαν ἐσθ' ὅτε προσποιησάμενοι τὸν παρὰ τῶν ἐναμίλλων ἐπηωρημένον κίνδυνον διαδράντες ἔφθησαν. ἔνιοι δὲ χωροῦσι καὶ περαιτέρω ὑπὸ δεισιδαιμονίας οἰόμενοι τὴν μωρίαν ἀναμφίλεκτον εἶναι ἁγιότητος χαρακτῆρα προλέγουσαν τὰ μέλλοντα, πειθόμενοι ἴσως οἷς Τίμαιος παρὰ Πλάτωνι λέγει· ἱκανὸν εἰλη-
„φὼς σημεῖον ὡς μαντικὴν ἀφροσύνῃ Θεὸς ἀν-
„θρωπίνῃ δέδωκεν, ἐπειδὴ οὐδεὶς, φησιν, ἔννους
„ἐφάπτεται μαντικῆς ἐνθέου καὶ ἀληθοῦς, ἀλλ'
„ἢ καθ' ὕπνον τὴν τῆς φρονήσεως πεδηθεὶς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

„δύναμιν, ἢ διὰ νόσων, ἢ τινα ἐνθουσιασμὸν „παραλλάξας. ϗ τοῖς ἐν Φαίδρῳ· ὅτι τὰ „μέγιστα τῶν ἀγαθῶν ἡμῖν γίνεται διὰ μα- „νίας τῆς θείᾳ δόσει διδομένης“. Καὶ αὐτῶν γοῦν τῶν ἐν τέλει ἔνιοι τιμῶντες ϗ γεραίροντες διετέλεσαν τοὺς εἴτ' ἀληθῶς εἴτε κατὰ προσποίησιν ἐνθουσιῶντας, ϗ μονονουχὶ μαινομένους, ϗ ἔξεστι θυμηδείας ἐμπίπλασθαι ἐπὶ τοῖς τοιούτοις, ὁτὲ μὲν αὐτοὺς γυμνοὺς ὁρῶντας, ὁτὲ δὲ ἀνθηρὰς περιβεβλημένους ἐσθῆτας, ϗ ὁτὲ μὲν πεζοὺς ἰόντας, ϗ ὑπὸ τῆς ἰλύος καταῤῥυπαινομένους, ἐνίοτε δὲ ἐφ' ἵππου, ἢ ἐπ' ὀχήματος παρὰ τοῖς ἐν τέλει σοβοῦντας, κατ' ἀγορὰν μὲν πενίαν ὑποκρινομένους, κατ' οἶκον δὲ περιφανῶς πλουτοῦντας, οἷον φανερῶς πίνοντας, ϗ μέχρι μέθης χωροῦντας, ἐλευθεροστομοῦντας, πᾶν εἶδος ὕβρεως μετιόντας. προστίθησι δὲ ϗ τοῦτο μεγάλην ἡδονὴν, παρατηρεῖν δηλονότι ϗ τοὺς ἄλλους τοὺς ἑτέραν νόσον νοσοῦντας, ὡς λιπαρῶς πρόσκεινται τοῖς ἀνοηταίνουσι, ϗ παραπαίουσι προθύμως ἀπαντῶντες αὐτοῖς, ὑπεξιστάμενοι, προεδρίᾳ τιμῶντες, οὐ μόνον δὲ μετ' ἐπιπλάστου τινὸς ἐνθου-

Ε.Υ.Δ. της Κ.τ. ΙΙ
ΙΩΑΝΝΙΝΑ 2005

σιασμȣ̃ λαλȣ̃σιν, ὑπέχȣσι τὰ ὦτα, ϗ μετὰ προσοχῆς ἀκροῶνται ἀπὸ λόγων εἰς λόγȣς γελοίως μεταπηδώντων, ϗ παντάπασιν ἀπροσδιόνυσα ϗ ἀσύγκλωςα ξυνειρόντων, ἀλλὰ ϗ ἐνύπνια διηγȣμένȣς, ϗ ὁτιȣ̃ν ἄλλο πράττοντας, θαυμάζȣσι, ϗ μετὰ πολλῆς ἀκριβείας παρατηρȣ̃σι κινήματα ϗ νεύματα, ϗ ἀσήμȣς αὐτῶν φωνὰς, ϗ διϊσχυρίζονται, προδηλώσεις εἶναι τῶν μελλόντων, ȣ̓́τε διαλείπȣσι διηγεῖσθαι ϗ τοῖς ἄλλοις τὰ ὁρώμενα ϗ ἀκȣόμενα. Ἀλλ' ἐπειδὴ διαδόσιμός ἐςιν ἡ νόσος, ἡ ὁσημέραι μετὰ τοιȣ́των ὁμιλία κομιδῆ εἴωθε φθείρειν συχνῶν τὰ ἤθη, ὥςε μηδὲ τȣ̀ς νȣνεχεςέρȣς αὐτῶν μέχρι τέλȣς ἀνεπάφȣς διατελεῖν, ἤτε τῶν κοινῶν διοίκησις ȣ̓ μετρίως ἐνίοτε παραβλάπτεται τῇ τοιαύτῃ πλημμελείᾳ, ϗ ταῖς ἀνίας μεςαῖς ἀπειρημέναις παρατηρήσεσι, ϗ κεναῖς ἐλπίσιν, αἷς πολλοὶ τῶν ὑπερεχόντων βοσκόμενοι, ϗ ἐνίοτε μάλα ἀφελῶς παραδηλȣ̃ντες τὰ σκαιῶς προσδοκώμενα, ϗ αὐτὸ τὸ ζῆν ἐζημιώθησαν. Ἐξ ἐναντίας δὲ ϗ ἡ ὀλιγωρία τῶν ἐνθȣσιώντων

ȣ̓κ ἔξω κινδύνȣ εἰς ὀργὴν ἀνερεθιζομένων, ϗ
εἰς ἑαυτȣ̀ς ἀναλαμβανόντων τὰ δοκȣ̃ντα ὀνεί-
δη τῶν ἐκείνοις φιλȣ́ντων ϗ θαυμαζόντων,
οἵ γε ȣ̓δὲ παύονται διατεινόμενοι τὸ ἀκραιφνὲς
τῆς ψυχῆς μηδαμῶς συνθολȣ̃σθαι ὑπὸ τῆς ἐ-
λευθέρας ἀναστροφῆς· τȣ̀ς γὰρ τελείȣς, φα-
σὶν, ȣ̓χ ὑποκεῖσθαι νόμῳ.

Ἐμȣ̃ δὲ πεπαυμένȣ τȣ̃ λέγειν, ἀλλὰ
κἀκεῖνο θαυμαστόν φησιν, ὁ Ἰταλὸς, ἔμοι γε
δοκεῖ τȣ̀ς Ὀθωμανȣ̀ς ἄλλως μὲν διαζωγρα-
φεῖσθαι ἐν τῇ ὑπολήψει τῶν παρ᾽ ἡμῖν Εὐ-
ρωπαίων, ἄλλως δὲ τῷ ὄντι διακεῖσθαι καθ᾽
αὑτȣ̀ς, ϗ ἵν᾽ ἔς γε τὸ παρὸν τ᾽ ἄλλα παρα-
λείψω, ὧν ȣ̓́πω διὰ ἀκριβȣ̃ς ἐρεύνης πεπείραμαι,
τό γε εὐπροσήγορον ϗ εὐπρόσιτον ϗ εὐόμιλον ἐνί-
ων, ϗ μάλιστα τῶν ἐν ἀξιώμασιν, οἷς ἄρτι ἀπωσȣ̃ν
ὡμίληκα, ἐπαινῶν ȣ̓ παύσομαι· ἐν γὰρ πολι-
τικοῖς πράγμασι φυρόμενον μεγάλης ἀγχι-
νοίας ἐπιτυχεῖν τȣ̃ δέοντος, ϗ μάλιστα ὅσον
γε ἐς ἠπιότητα ϗ αὐστηρότητα τείνει λίαν ἔ-
χει δυσχερῆ τὴν διάκρισιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

# Περὶ Πραότητος ϗ Αὐστηρότητος.

Ὥσπερ γὰρ ὁ τῶν πολιτευομένων βίος κατά τε οἴκησιν ϗ περιβολὴν ϗ τὴν λοιπὴν ἀγωγὴν τοῦ ἰδιωτικοῦ διέστηκεν, οὕτω ϗ τὰ ἤθη ϗ ἡ μετὰ τῶν ἄλλων ἀναστροφὴ ὀφείλει διενηνοχέναι, ϗ μηδεὶς ἂν ἔξαρνος γένοιτο τῶν γε νοῦν ἐχόντων, ὡς τὸ ἀπερριμμένον ϗ ἀγέλαστον παντάπασιν ἀπᾴδει ἀνδρὶ πολιτικῶν πραγμάτων ἐπειλημμένῳ. αἰδὼς γὰρ ἀγάπῃ ϗ φόβῳ συγκεκραμένη μόλις συνέχει τὸ σφαδάζον, ϗ ἀφ᾽ ὁποιασοῦν ἀφορμῆς εἰς ἀπείθειαν ἀφηνιάζον τῆς ἀνθρωπίνης φύσεως. διὸ πολλοὶ τῶν ἐπὶ φρονήσει θαυμαζομένων Βασιλέων τὸ πλεῖστον μέρος τῆς ἑαυτῶν ἀσφαλείας ἀπονέμοντες διετέλουν τῷ φόβῳ, καίτοι πολλοῦ τιμῶντες ϗ τὴν ἀγάπην, καὶ πάσῃ μηχανῇ προθυμούμενοι ἐνστάξαι κἀκείνην ταῖς τοῦ ὑπηκόου ψυχαῖς συγκεράσαντες τῷ κατ᾽ ἀρχὰς ἐγκατεσπαρμένῳ φόβῳ. ἡ μὲν γὰρ ἀγάπη ἤρτηται τῆς τοῦ ὑπηκόου προαιρέ-

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

σεως, καὶ ἐπὶ τοσοῦτον διανέμει ἐφ' ὅσον αὐτῷ βελτιόν ἐστιν, ὑπὸ μικρᾶς αἰτίας πολλάκις ἐξίτηλος γιγνομένη. τὸν δὲ φόβον ἐνίησι τὸ ἄρχον, ὅτε μὲν καθάπερ χαλινῷ, ὅτε δὲ οἱονεὶ κέντρῳ χρώμενον αὐτῷ, ἐπιτεῖνόν τε καὶ ἀνιὲν τὰ τῆς διοικήσεως ὡς ὁ καιρὸς πείθει, καὶ ἡ τῶν πραγμάτων ἀπαιτεῖ κατάστασις. Πρόκειται δὲ κἀν ταῖς ἱεραῖς βίβλοις λαμπρὰ παραδείγματα, οὐ μόνον μακροθυμίας καὶ πρᾳότητος, αἷς κέχρηται τὸ Θεῖον ἀμέσως τε, καὶ διὰ Προφητῶν, καὶ Βασιλέων, ἀλλ' οὐδὲν μεῖον ἀπειλῆς καὶ ἀπαραιτήτου τιμωρίας ἀναχαιτιζούσης τὴν ἐς μοχθηρίας βάραθρον ἐκκυλιομένην ἀπόνοιαν· ὑπέρκειται ὅμως τὸ πρᾶον καὶ φιλάνθρωπον. Καὶ καθάπερ ἐφεῖται μὲν τοῖς ἰατροῖς ἐν τοῖς ἀπεγνωσμένοις τῶν νοσημάτων ἐνίοτε χρῆσθαι καὶ πυρὶ καὶ σιδήρῳ, ἀλλ' εἰ τῶν ἠπιωτέρων καὶ προσηνεστέρων ὀλιγωρηκότες φαρμάκων πυκνὰ τὸν σίδηρον προτείνωσι, καὶ πῦρ πνέωσι δημίων δόξαν εἰληφότες ἀπελαθεῖεν ἂν τῆς πόλεως, οὕτω καὶ τοῖς ἐπιτετραμμένοις τὴν διοίκησιν τῶν

όλων, ἔξεστιν ἐνίοτε καὶ ὀφρύων ἀνατάσει καὶ λόγου σφοδρότητι, καὶ εἰς ἔργον χωρούσῃ παιδείᾳ κολάζειν τοὺς ἰταμωτέρους. Τὸ δὲ πᾶσαν ἱλαρὰν ὁμιλίαν πρός τε τοὺς ὑποδεεστέρους, καὶ πρὸς τὸ ὁμότιμον ἀποποιουμένους, καὶ λαλοῦντας, καὶ σιωπῶντας τυραννικὸν ἀσκεῖν ἦθος, πολὺν ἀναρριπίζει φθόνον, καὶ εἰς ἄπλετον ἀναφλέγει τοὺς πειραθέντας τοιαύτης πικρίας ἀπέχθειαν· κἀντεῦθεν πολλὰς ἀναῤῥαγῆναι στάσεις δῆλόν ἐστι τῷ μετ' ἀκριβείας ἀναγινώσκοντι τὰς ἱστορίας. Πολλοὶ μέντοιγε τῶν ἐν ταῖς βασιλείοις αὐλαῖς, καίτοι γε ἔντε πολιτικῶν πραγμάτων διοικήσει, ἔντε πολεμικοῖς ἔργοις λαμπροὶ καὶ γενναῖοι φαίνεσθαι θέλοντες, οὐκ οἶδ' ὅπως ἐν τούτῳ τῷ μέρει μηδαμῶς τιμῶσι τὴν τῷ ὄντι χρυσῆν μετριότητα, καὶ μιμούμενοι δῆθεν τοὺς πάλαι παρά τε Ῥωμαίοις καὶ Ἕλλησι θαυμαζομένους σώφρονι περιβολῇ καὶ ταπεινῇ προόδῳ, ἐπιπόλαιόν τινα μετριοφροσύνην ἐπιτηδεύονται, βαρύτητι δ' ἤθους, καὶ λόγων φειδοῖ, καὶ τῇ πρὸς τοὺς αἰτουμένους τὰ δέοντα ἀναβολῇ κατανεύσεως ἢ ἀπονεύσεως, κομιδῇ ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

ποκναίουσι τοὺς ἐντυγχάνοντας, οὐκ ὀλίγους αὐτῶν εἰς ἀπόνοιαν συνωθοῦντες. ϗ τὴν μὲν τῶν πάσης παιδείας ϗ εὐγενείας ἐρήμων ὄντων ἐθνῶν ὠμότητα ὥσγε εἰκὸς ἀποτρόπαιον νομίζουσιν, ἥκιστα δ᾽ ἀναλογίζονται ὡς γενναίοις ἀνδράσι τοῦ κακῶς ζῆν τὸ καλῶς τεθνάναι βέλτιον. Τὸ γὰρ δάκνουσι λόγοις, ϗ αὐτῶν καθικνουμένοις τῶν μυελῶν, ἢ μακρᾷ σιωπῇ ϗ περιφρονήσει καταπιέζειν εὐγενῆ ϗ μεγαλόφρονα ψυχὴν, οὐ διενήνοχε τοῦ ποικίλαις βασάνοις στρεβλοῦν τὸ σῶμα, ἢ μολιβδίνῳ ξίφει χρώμενον ἐπὶ κακῷ τοῦ πάσχοντος, πικροτάταις ἀναβολαῖς παρατείνειν τὰ τῆς ποινῆς: ἀλλ᾽ ἔδει τοὺς τοιούτους, ἐπειδὰν ἐθέλωσι καλλωπίζεσθαι εἰς μίμησιν ἀρχαίας ἀρετῆς, ἐν ὅλῳ τῷ ὕφει τοῦ βίου ἀποδιδόναι λαμπρὰς τὰς εἰκόνας, τῶν πρωτοτύπων χρωμάτων ὀλιγωροῦντας, δαψιλῶς εὖ ποιοῦντας, δικαίοις μόνον πολέμοις ἐπιβάλλοντας, ϗ πρὸς τὸ ἀντίπαλον αὐτὸ μὴ παραλάττοντας τὰ καθήκοντα, ϗ ξυνφυλά- θείοις τε ϗ ἀνθρωπίνοις νόμοις, τοῖς τε στρατηγήμασιν, ὧν πολλοὶ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

πάλαι ἡρώων περιπεφρονηκότες φαίνονται μὴ περιττῶς ἀποχρωμένυς, γενναιότητος δὲ περιυσίᾳ μετὰ τὴν νίκην, ἣν ὡς ἐπὶ τὸ πολὺ ἀκραιφνὴς ἀνδρεία ἀποτίκτειν ὀφείλει τοῖς ἡττηθεῖσι, ϗ ἤδη ὑπὸ χεῖρα γενομένης προσφερομένυς μετριώτατα.

Τοιύτων δὴ λόγων ἑκατέρωθεν φοιτώντων, ὁ Γραικὸς ὐκ ἐπιλαθόμενος τῆς φθασάσης ὑποσχέσεως, βιβλιδάριον προφέρει, ἐν ᾧ γεγραμμένα ἦν τὰ ἀντιπάλῳ ἀγχινοίᾳ πρὸς τὰ Γαλλικῇ διαλέκτῳ ἐκδεδομένα περὶ ἐπιεικῦς ἑρμηνείας κινημάτων ϗ πράξεων ἀνθρωπίνων φροντίσματα, ἐξ ὧν κατὰ τὸ στενὸν τῦ χρόνυ χειρὸς ταχύτητι μετεγραψάμην ἔνια εἰς τὸ ἐμὸν ὑπομνησικὸν πινακίδιον. εἶχε δὲ ὕτω.

## Φροντίσματα τὰ περὶ ἐπιεικῦς ἑρμηνείας τῶν ἀνθρώπυ κινημάτων ϗ πράξεων.

Α'. Της ματαιότητος τῶν κοσμικῶν πραγμάτων, ϗ τῦ ὐτιδανῦ τῆς ἀνθρωπίνης φύσεως

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

ἀναφανέντων, ἡ ἡμῶν αὐτῶν ὀλιγωρία παρὰ πόδας ἕπεται, ἡ δὲ, τίκτει τὴν ταπείνωσιν, ἀλλ' ἐν ἡ ταπείνωσις γεννᾷ τὸν ζῆλον, ὁ δὲ ζῆλος ϗ ὁ ἔνθεος ἔρως εἰς σωτηρίαν τȣ͂ πλησίον ἐπὶ παρασκευῇ ἐνάμιλλȣ ταπεινώσεως νεανικῶς ἰὼν, ȣ̓κ ὀρθῶς νομίζεται ἀλαζονεία ϗ δοκοφροσύνη· ȣ̓ γάρ ἐςιν ἀναιρετικὴ τῆς ἐν τῇ καρδίᾳ ἀληθȣ͂ς ταπεινώσεως ἡ τῶν καθηκόντων ἀποπλήρωσις, ἤτοι τὸ διορθωτικὸν τῶν ἐλαττωμάτων τȣ͂ πλησίον, τὸ μετὰ ὑγιȣ͂ς συνειδήσεως ἐπιτιμητικὸν ϗ ἐπιπληκτικὸν ἐν καιρῷ· ϗ τὸ ὑπογραμμὸν ϗ τύπον ἀρετῆς γιγνόμενον ἐνίοτ' ἐν Κυρίῳ καυχᾶσθαι πρὸς οἰκοδομὴν τῶν χαυνοτέρων, ἔχει τὸν θεσπέσιον Παῦλον διδάσκαλον· ϗ ἐν ἑαυτοῖς οἱ ἅγιοι κατεξανιςάμενοι τῶν παθῶν μετὰ μεγαλοφυȣ͂ς φρονήματος ϗ πολλῆς ἐξȣσίας ϗ παῤῥησίας κατασέλλȣσι τὰ τȣ́των φρυάγματα. Δεῖ δὴ εἰδέναι ποιότητα ϗ βαθμȣ̀ς ταπεινώσεως, μηδ' ἀποκρίνειν ἁπλῶς τῆς διαπύρȣ εὐλαβείας ϗ εὐσεβείας τὸ μετὰ ζήλȣ ἀρχικὸν κατὰ τῆς ἀντιςρατευομένης κακίας.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

Β΄. Οἱ ἐν ἀγροῖς ποιμένες καὶ γεωργοὶ πονοῦσι μὲν δι' ὅλης τῆς ἡμέρας, καὶ καύματος ἀνέχονται καὶ ψύχους, οὐκ εἰσὶ μέντοιγε ὡς νομίζουσιν οἱ τὰς πόλεις οἰκοῦντες παντάπασιν ἀπηλαγμένοι τῶν ἐπιπολαζουσῶν τῷ βίῳ ἀνιαρῶν. Φθονοῦσι γὰρ κἀκεῖνοι καὶ δεδίασι καὶ κρείττονος ἐφίενται βίου, καὶ ὀλοφύρονται διὰ τὰς τῶν λύκων ἐφόδους, καὶ τοὺς αὐχμοὺς καὶ τὰς πλημμύρας, ἐπιστατῶν τε ἀπήνεια αὐτοὺς κατατρέχει, καὶ ἔχις δάκνει, καὶ τέκνων ἀποβολὴ αὐτῆς καθικνεῖται τῆς καρδίας, καὶ γλῶττα λάλου γυναικὸς πλήττει, οὐδ' ἐλάττοσι δεινοῖς πιέζονται οἱ τὰς βαναύσους τέχνας ἀνὰ τὴν πόλιν ἀσκοῦντες ἐπὶ τοῖς ἄλλοις χαλεποῖς τοῖς κοινῇ τὸν βίον ἐπινεμομένοις τοῦ διηνεκοῦς καμάτου ἐν προθήκαις μοίρᾳ ὄντος, καὶ διηνεκῶς αὐτοὺς κατατρίβοντος. Πολλάκις γὰρ ὑπὸ περιεργίας ἀνερευνήσαντες τὰ κατ' αὐτοὺς οἱ ἐν ταῖς πολιτείαις προέχοντες, παραμυθίαν εὕραντο τῶν ἀθυμίαν αὐτοῖς παρασκευαζόντων ἀηδῶν. εἰ δὲ τὸ πονεῖν καὶ μοχθεῖν ἱκανὸν ἦν ἀποσοβῆσαι τὴν ἄλλην πλημμέλειαν τοῦ βίου, καὶ εὐδαιμονίαν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

παρασκευάσαι, συχνοὶ τῶν ἐν ταῖς βασιλείοις αὐλαῖς ὑπηρετουμένων, οὐδ' ἀκαρῆ ἡσυχίαν ἄγοντες, ἀλλ' ἄνω ϗ κάτω φερόμενοι, τῶν δ' ἐνδοτέρω βουλευμάτων πόῤῥω ἱστάμενοι, ϗ τῶν ἀπὸ τῆς ἀποβάσεως ἐπικρεμαμένων κινδύνων ἔξω ὄντες, χερσὶ δὲ μόνον ϗ ποσὶ τοῖς ἄρχουσιν ὑπουργοῦντες, εὐτυχέστεροι ἂν εἶεν τῶν ἐν ἀγροῖς, ϗ περὶ τὰς βαναύσους πονουμένων τέχνας. Οὐκοῦν τῆς κατὰ ψυχὴν γαλήνης ἐκ τῆς ποιᾶς τῶν σωμάτων κράσεως ἀναφυομένης ὡς τὰ πολλὰ, ϗ ἐν ἀγρῷ, ϗ ἐν ἄστει, ϗ ἐν ἀνθηρῷ βίῳ, ϗ ἐν πόνοις ἐστὶν εὑρεῖν εὐτυχοῦντας ϗ δυστυχοῦντας.

Γ'. Αἱ διάφοροι τῶν βίων ἰδέαι οὐ κατὰ μόνην τὴν ἔσω διάθεσιν, ἀλλὰ ϗ κατὰ τὴν ἔξω πρόσοψιν ὀφείλουσιν ἀλλήλων διακεκρίσθαι, ἵνα μὴ πολλὴ ἀκοσμία ϗ ταραχὴ ἐπεισκωμάση τῷ βίῳ. ϗ δένδρα δῆτα ϗ ζῶα οὐχὶ μόναις ποιότησι ϗ ὠφελείαις ἀλλήλων διενήνοχεν, ἀλλὰ ϗ φύλλοις ϗ δέρμασι ϗ τῷ λοιπῷ κόσμῳ κεχωρίδαται· τοσοῦτον γὰρ ἰσχύει ἡ ἐπιπόλαιος σκευὴ, καίτοι πολλοῖς ἥκις ἀναγκαία εἶναι



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005